UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

Demosthenes

Aureliae Allobrogum, 1607

Orationis De classibus enarratio

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

ἐν ᾧ ποιεῖται τὴν εἰσήγησιν περὶ τοῦ δύναμιν κατασκευάσαι τῇ πόλει. ἐν δὲ τούτῳ, τὸ μὲν συμφέρον φαμὲν εἶναι τὸ προηγούμενον· περιεχόμενον δὲ, τὸ δυνατόν. δεύτερον μέρος ἐστὶ τοῦ λόγου, παρέκβασις τὸ δίκαιον περιέχουσα· ἐν ᾧ μέμψις καὶ κατηγορία τῶν κακῶς πολιτευομένων ῥητόρων· ὅτι συνεθίζουσι τὴν πόλιν ἀργεῖν, καὶ μὴ τὰ δέοντα πράττειν, ἀλλὰ ξένοις ἐπιτρέπειν, καὶ στρατηγοῖς ὀλίγοις τῶν πραγμάτων τὰ ἀναγκαιότατα· καὶ δέον προεστάναι τῶν ἑλλήνων τὴν πόλιν κωλύουσιν. ἐν ᾧ καὶ ἀντεξέτασις τῆς ἑαυτοῦ πολιτείας πρὸς τὴν ἐκείνων εἰσήγησιν ἃ καὶ κατασκευαστικὰ τυγχάνει τοῦ δεῖν πεισθῆναι οἷς αὐτὸς εἰσηγεῖται, ἀλλὰ μὴ οἷς αὐτοὶ λέγουσι. τὸ τρίτον μέρος τοῦ λόγου, δευτέρα παρέκβασις περιεκτικὴ τοῦ συμφέροντος. ἐν ᾧ τῆς παρούσης πολιτείας ἀντεξέτασιν πρὸς τὴν παλαιὰν ποιεῖται· ἀποδεικνὺς πολλῷ διαφέρουσαν τὴν ἀρχαίαν τῆς νυνὶ καθεστηκυίας, καὶ τὸ μὲν πρῶτον μέρος καλῶς ἔχει λέγειν, περιεκτικὸν εἶναι τοῦ κεφαλαίου τῆς εἰσηγήσεως. τὸ δὲ δεύτερον, παρέκβασιν. καὶ τὸ τρίτον δὲ καὶ αὐτὸ, παρέκβασιν μὲν εἶναι, διαφέρουσαν δὲ τῆς πρώτης. ὥστε δύο παρεκβάσεις ἔχειν τὸν λόγον. μίαν μὲν περιεκτικὴν τῆς ἀντεξετάσεως τῶν ἀντιδημαγωγούντων, αὐτοῦ τε λέγω δημοσθένους, καὶ τῶν πρὸς ἐκεῖνον. δευτέραν δὲ, τῆς καθεστηκυίας πολιτείας, πρὸς τὴν παλαιὰν ἣν* διῄρηκε. τὰ τελευταῖα δὲ τοῦ λόγου ἀνακεφαλαίωσιν ἔχει συντετμημένην, εἰς ἃ πρὸ βραχέος διαιροῦντες τὸν λόγον, κατετέμομεν, τὰ ἐπιχειρήματα, καταριθμούμενοι, καὶ ὑποδεικνῦντες, ὅθεν τοῦ τόπου εἴληπται ἕκαστον.

ΕΙΣ ΤΟΝ ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ λόγον ἐξήγησις.

ΟΙ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν.) Ὁ περὶ τῶν συμμοριῶν λόγος πρόδηλον ἔχει τὴν ὑπόθεσιν. πέπεισται γὰρ ὁ δῆμος παρασκευάζεσθαι βασιλέα νῦν ἐπὶ τὴν ἑλλάδα, καὶ μέλλειν ἐπιέναι ὅσον οὐδέπω. διὸ καὶ παρώξυνται καὶ προαπαντᾶν αὐτῷ, περὶ τὴν λυδίαν κέκριται, καὶ τοῦ πολέμου κατάρχειν ἤδη. δημοσθένους δὲ σκοπὸς, εἰ μὲν ἔχοι κωλῦσαι καὶ τὴν ὁρμὴν ἀποστρέψαι. δεδοικὼς δὲ τοῦ δήμου τὴν ῥοπὴν (*χαλεπὸν γὰρ ἐν ἀνθίστασθαι ζέοντι) οὐ φανερῶς ἀποτρέπει, καὶ συντρέχειν δοκῶν τῇ γνώμῃ, κωλύει. πῶς δὴ τοῦτο ποιεῖ; προστάττει παρασκευάζεσθαι, καὶ ἄνευ τῶν ἑλλήνων μὴ ἐπιχειρεῖν· ἵνα τῷ μὲν συμβουλεύειν παρασκευάζεσθαι, δοκῇ συντρέχειν· τῷ δὲ ἄνευ τῶν ἑλλήνων μὴ κινεῖσθαι, λαμπρῶς ἀποτρέπειν. ὥστε τῇ τῆς δεινότητος μεθόδου μετέχειν πως τὸν λόγον. καὶ σχήματος τοιοῦτόν ἐστιν εἶδος καὶ παρὰ θουκυδίδῃ, ἐν τῇ κατ' ἀρχίδαμον δημηγορίᾳ τῇ πρώτῃ. καὶ γὰρ κἀκεῖνος δοκῶν ἐπὶ τὸν πόλεμον προτρέπειν, οὐδὲν ἧττον καὶ ἀνθίσταται. τοιοῦτον δὲ εἶδος παρὰ τοῖς νεωτέροις οὐκ ἄν τις εὕροι, διὰ τὸ τὴν ὑπερβολὴν τῆς δεινότητος, τῇ τῶν παλαιῶν μὴ ὑποπίπτειν μιμήσει. δύο οὖν σχήματα παραδεδώκασιν ἡμῖν κρυπτῶν λόγων, δημοσθένης καὶ θουκυδίδης (οὗτοι γὰρ ἐπὶ δεινότητι τῶν ἄλλων διήνεγκαν) ἓν μὲν τοῦτο, ὃ προειρήκαμεν. ἐν ᾧ δοκῶν τις συντρέχειν, κωλύει. καὶ ἔστι πρὸς μίμησιν δυσχερέστατον. δέδωκε δὲ ἰδίᾳ θουκυδίδης καὶ ἕτερον, ὃ ἄντικρυς ἐστὶν ἀπὸ τοῦ ἐναντίου. οἷον τὸ ἐν τῇ δημηγορίᾳ νικίου. καὶ γὰρ ἐν ἐκείνῃ συμβουλεύων καὶ προτρέπων δῆθεν πλεῖν ἐπὶ τὴν σικελίαν· τῷ μεγέθει τῆς παρασκευῆς, τοὐναντίον ἐργάζεται. ἐκεῖ μὲν οὖν, τὸ εἶδος ὅλον, τοιοῦτόν ἐστι διὰ τοῦ ἐναντίου, ἐν ᾧ μεγάλα αἰτῶν, οὐκ ἐᾷ τὴν ἔξοδον γίγνεσθαι.

A In hac autem aſſeruimus, vtilitatem eſſe principem, facultatem verò ſub ea contineri. Secunda pars orationis eſt digreſſio, iuſtum complectens, in qua ineſt obiurgatio, & accuſatio rempublicam malè gerentiū oratorum, qui ciuitatem ad ſegniciem adſuefaciant, officiíq; neglectum, & peregrinis militibus & paucis ducibus res grauiſſimas committant: & cum ciuitatē Græciæ principem eſſe diceret, eam prohibeant: in quo per contentionem ſuas rationes cum illorum ſuaſionibus comparat. Quæ eò pertinent, vt probet, ſuis conſiliis eſſe parendum, non illorum verbis. Tertia pars orationis eſt digreſſio ſecunda, continens vtilitatis, in qua præſentem rempub. cū vetere confert: oſtēdens, veterem ea quæ nunc recepta ſit, multò eſſe præſtantiorem. Ac prima quidem pars probè dici poteſt, continere caput ſuaſionis. Altera digreſſionē. Quin & tertiam ipſam quoque digreſſionem eſſe, à prima tamen differentem. Duas igitur digreſſiones
B habet oratio: vnam, quæ comparationem continet aduerſæ factionis in republica, tū ipſius Demoſthenis, tum eius aduerſariorum: alteram receptæ reipublicę cum vetere, quam * diuiſit. Extremitas orationis enumerationem capitum habet conciſam, in quę paulo antè, cum orationem diuideremus, ſecuimus argumenta, enumerando & demonſtrando, è quo loco ſingula ſumpta eſſent.

ORATIONIS DEMOSTHENIS DE CLASSIBVS enarratio, Hieronymo Vvolſio interprete.

QVI laudant maiores veſtros, Athenienſes.) Oratio de Claſſibus euidens habet argumentū. Audierat enim populus, Perſarum regem parare nūc & inſtruere ſeſe contra Græciam, & bellum confeſtim illaturum. Quare concitatus eſt, & ei circa Lydiam occurrere decreuit, & iam ordiri bellū. Demoſthenis verò conſilium eſt, prohibere ſi poſſit, ac morari eius impetum, & auertere. Veritus autem popu-
C li vehementiam, (nam ferenti reſiſtere difficile eſt.) neque apertè dehortatur: & dum eius inſtituto ſuffragari videtur, aduerſatur. Id igitur quomodo facit? iubet vt ſe parent, & ſine Græcis nihil aggrediantur: vt dum ſuadet vt ſe parent, aſſentiri videatur. Dum verò vetat, ne ſine Græcorum conſenſu ſe moueant: ſplendidè dehortatur, vt à methodo ſolertiæ ſiue calliditatis, oratio non prorſus ſit aliena. Huiuſmodi figuræ genus eſt etiam apud Thucydidem in prima Archidami concione. Nam is quoque, cum hortari ad bellum videatur, nihilominus etiam aduerſatur. Huius generis apud recentiores nihil reperias, propterea quòd inſigne artificium veterum ſub imitationem non cadit. Duas igitur figuras tradiderunt nobis occultarum orationum Demoſthenes & Thucydides. hi enim arte ingenioq́; cæteris præſtiterunt. Vnam, quam modò explicauimus, vt dum aſſentiri videris, aduerſere: quæ eſt imitatu difficilima. Priuatim verò Thucydides alteram etiam exhibuit, quæ prorſus à contrario ſumitur, cuiuſmodi illud eſt in concione Niciæ: in qua cum ſuadeat & hortetur ſcilicet, vt in Siciliam nauigent: magnitudine apparatus contrarium molitur. Ac ibi ſanè totum genus eſt eiuſmodi, tractatum per contraria, dum magna poſtulando, expeditionem ſuſcipi non ſinit.

Hîc verò videtur aſſentiri,& tamen animos auditorum ad curam apparatus & iuſtitiæ ſtudium träſfert, & dehortationem arte per huiuſmodi moram & lenitatem & diligentiam perficit. Tali orationis genere conſtat & Archidami, vt dixi, concio. Vſus autem eſt partium tali diſtributione. Vnum fecit exordium, quod nullam ſimilitudinem habet cum exordio Thucydidis (vt quidam ante nos opinati ſunt) ſed paucu-las duntaxat propoſitiones ſimiles: confirmationes verò non ſimiles, nec eaſdem. Proinde permultum tota ſententia diſtat à ſententia,& diſpoſitio hæc ab illa diſpoſitione. Laudat autem Demoſthenes non res geſtas, ſed virtutes: vt obſcurè moneat auditores, prudenti conſilio illos omnia proſperè confeciſſe,& eos adducat, vt tutius ante rem deliberent. Caput vtilitatis ſtatim ponitur, hoc principio: Ego exiſtimo communem hoſtem eſſe omnium Græcorum regẽ Perſarum. Propoſitio ſumitur à iuſto: Iniurius eſt in Græcos rex. Hoc verò eſt ſuffragari eorum ſententiæ, qui populum concitant.

Non propterea tamen.) Paulatim vtilitatem confirmat facultate & iuſto, vel inutile potius impoſſibili. Solẽt aũt etiã contrariis nominib. ſine diſcrimine in his vti artifices, & inutile nominare vtile, & iniuſtũ id, quod eſt iuſtũ. & ſic in ceteris. Redeamus igitur ad diuiſionem: non conſultum eſt, inquit, vt vos primi rẽ ſuſpiciatis, eò quòd viribus deſtituemini: & quod Græci magis ad illum inclinant animis, quàm ad vos. atque adeò ne à iuſto quidem abſtinet in confirmatione vtilitatis. Vult enim bellum iuſta de cauſa ſuſpici (id verò eſt legitimum) nec violari ab eis primis ſinit fœdus. non tamen huic pertractando immoratur: quòd ſecuturum dedecus veretur. Suſpicatus enim eſſet aliquis eum regi gratificantem, oſtendere conari, ictum fœdus cum Græcis, eum non rupiſſe. Inhęret autem facultati magis, & tamen nihilominus iuſtum per eam etiam ſignificat. Vtile quidem, vt dixi, per hæc omnia abſoluens. Nam illud, Si perſpicuũ fiet & euidens, Regem inſidiari Græcis, tum ſe nobiſcum & coniungent, & conſentient: innuit, nec rupiſſe fœdus regem, neque velle Græcos auxiliari Athenienſibus. Quorum illud de fœdere, ad iuſtum & legitimum pertinet: hoc de ſocietate, facultatis eſt. Addit & contrarium, Cum illo coniuncti Græci nos oppugnabunt, ſi nos inimicitias auſpicabimur. Pendet autem tota res à coniectura. Nec enim pronunciat, reuera regem inſidiari Græcis: ſed quia id perſuaſum eſt populo,& populus è veſtigio ſe parare non poteſt, ſub conditione & ipſe id approbat, dicens, ſi modò inuadere decretum eſt regi Græcos: dubitatione cupiditatem molliens, & iracundiam medio ſermonis genere ſedans. In quo etiam in Græcorum inquirit animos, qui non credant, Regem bellum eſſe Græciæ illaturum. Ac ita quidem ipſum vtile tractatum eſt, vt à poſſibili & iuſto ſumat omnes confirmationes. proinde principale eſt vtile: in eo verò iuſtum & poſſibile continentur. Abſolutis autem ſuis probationibus aſciſcit ad caput, obiectionem vtilitatis, cognatam capiti, quam tractauit, non vt obiectionem, ſed vt oratorum obiurgationem. Quid verò ait? Ferocibus autem illis & bellum acriter vrgentibus, hoc dico: hæc eſt obiectio.

A ἐνταῦθα δὲ συντρέχειν δοκῶν, μεταβιβάζει τὴν διάνοιαν τῶν ἀκροατῶν ἐπὶ παρασκευῆς πρόνοιαν, καὶ ἐπιμέλειαν τῶν δικαίων· καὶ μεθόδῳ τὴν ἀποτροπὴν διὰ τῆς τοιαύτης μελλήσεως καὶ ἤθους καὶ ἐπιμελείας ἐργάζεται. οἷόν ἐστι καὶ τὸ εἶδος τοῦ λόγου ὡς ἔφην, καὶ τοῦ τῆς Ἀρχιδάμου δημηγορίας. κέχρηται δὲ διαιρέσει μερῶν τοιαύτῃ. ἓν μὲν πεποίηται προοίμιον, οὐδεμίαν ὁμοιότητα ἔχον πρὸς τὸ τοῦ Θουκυδίδου προοίμιον, ὡς τῶν πρὸ ἡμῶν τινὲς ᾠήθησαν. ὀλίγας δέ τινας προτάσεις ὁμοίας μόνας. κατασκευὰς δὲ οὐχ ὁμοίας, οὐδὲ τὰς αὐτάς. ὥστε πάνυ πολὺ διεστάναι τὴν ὅλην ἔννοιαν τῆς ἐννοίας, καὶ τὴν διοίκησιν ἐκείνης τῆς διοικήσεως. ἐπαινεῖ δὲ Δημοσθένης οὐ τὰς πράξεις, ἀλλὰ τὰς ἀρετάς, αἰνιττόμενος τοῖς ἀκούουσιν, ὅτι δι' εὐβουλίας ἐκεῖνοι πάντα κατώρθωσαν, καὶ ἐνάγων τοὺς ἀκούοντας, ἀσφαλέστερον βουλεύσασθαι περὶ τῶν ἔργων. τὸ κεφάλαιον δ' εὐθὺς ἐστὶ τὸ συμφέρον, ἔχον ταύτην τὴν ἀρχήν. Ἐγὼ νομίζω κοινὸν B ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶναι βασιλέα. Ἡ δὲ πρότασις ἀπὸ τοῦ δικαίου. ὅτι ἄδικος ἐπὶ τοὺς Ἕλληνας βασιλεύς. τοῦτο δὲ ἐστὶ συντρέχοντος δῆθεν τῇ γνώμῃ τῶν παροξυνόντων.

Οὐ μὴν διὰ ταῦτα.) κατὰ βραχὺ τὸ συμφέρον κατασκευάζει, τῷ δυνατῷ καὶ τῷ δικαίῳ. μᾶλλον δὲ τὸ ἀσύμφορον τῷ ἀδυνάτῳ. εἰώθασι δὲ καὶ τοῖς ἐναντίοις ὀνόμασιν ἀδιαφόρως ἐπὶ τούτων χρῆσθαι οἱ τεχνικοί. καὶ τὸ ἀσύμφορον συμφέρον ὀνομάζειν, καὶ τὸ ἄδικον, δίκαιον. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. ἐπανέλθωμεν οὖν ἐπὶ τὴν διαίρεσιν. οὐ συμφέρει πρώτους ὑμᾶς ἐπιθέσθαι τοῖς πράγμασι, διὰ τὸ μὴ ἔχειν δύναμιν, καὶ διὰ τὸ τοὺς Ἕλληνας πρὸς ἐκεῖνον μᾶλλον βλέπειν, ἢ πρὸς ἡμᾶς. οὐκ ἀπέχεται δὲ οὐδὲ τοῦ δικαίου ἐν τῇ κατασκευῇ τοῦ συμφέ- C ροντος. ἀξιοῖ γὰρ τὸν πόλεμον δίκαιον γενέσθαι. τοῦτο δέ ἐστι τὸ νόμιμον. καὶ τὸ μὴ δεῖν παραβαίνειν αὐτοὺς πρώτους τὰς συνθήκας. οὐ μὴν ἐπεξέρχεται τούτῳ σφόδρα, διὰ τὸ εὐλαβεῖσθαι τὴν συμβησομένην αἰσχύνην. ὑπενόησε γὰρ ἄν τις, αὐτὸν χαριζόμενον βασιλεῖ, πειρᾶσθαι δεικνύναι μὴ παραβεβηκότα τὰς πρὸς τοὺς Ἕλληνας γεγενημένας αὐτῷ συνθήκας, ἐνδιατρίβει δὲ τῷ δυνατῷ μᾶλλον, οὐδὲν ἧττον ἐμφανίζων, μὲν διὰ τούτου τὸ δίκαιον. τὸ μέντοι γε συμφέρον, ὡς ἔφην, διὰ τούτων ἁπάντων περαίνει. τὸ γάρ, εἰ γένοιτο ἐναργές τι καὶ σαφές, ὡς βασιλεὺς ἐπιβουλεύει τοῖς Ἕλλησι; τότε καὶ συμμαχήσουσι, καὶ ὁμονοήσουσι; δεῖγμα τοῦ μήτε παραβεβηκέναι τὰς συνθήκας τὸν βασιλέα, μήτε τοὺς Ἕλληνας ἂν ἐθελῆσαι τοῖς Ἀθηναίοις συνεπαμύνειν. ὧν τὸ μὲν ἐστὶ περὶ τὰς συνθήκας, τὸ δίκαιον ἔχει, καὶ τὸ νόμιμον. τὸ δὲ κατὰ τὴν συμμαχίαν ἐστὶ τοῦ δυνατοῦ. καὶ ὅτι τοὐναντίον, πολεμήσουσιν ἡμῖν μετ' ἐκείνου οἱ Ἕλληνες, εἰ προαπεχθησόμεθα ἡμεῖς. καὶ τὸ σύμπαν δὲ στοχαστικῶς. οὐ γὰρ ἀποφαίνεται ὄντως ἐπιβουλεύειν τὸν βασιλέα τοῖς Ἕλλησιν, ἀλλ' ἐπειδὴ πέπεισται ὁ δῆμος, καὶ ἄντικρυς παρασκευάζεσθαι οὐ δύναται, καθ' ὑπόθεσιν καὶ αὐτὸς ἀπολαμβάνει, λέγων, εἰ ἄρα ἐγχειρεῖν διέγνωκε τοῖς Ἕλλησι βασιλεύς; τῷ διστάγματι τὴν προθυμίαν πραΰνων, καὶ καταπαύων τὴν ὀργὴν τῇ μεσότητι. ἐν ᾧ καὶ τὴν τῶν Ἑλλήνων ἐξετάζει γνώμην, ἣν ἔχουσι, μὴ πιστεύοντες βασιλέα στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. οὕτω μὲν οὖν διῴκηται αὐτῷ τὸ συμφέρον ἀπὸ τοῦ δυνατοῦ, καὶ τοῦ δικαίου, πάσας ἔχον τὰς κατασκευάς· ὡς προηγούμενον μὲν εἶναι τὸ συμφέρον, ἐμπεριεχόμενον δὲ τὸ δίκαιον καὶ τὸ δυνατόν. πέρας δ' ἐπιθεὶς ταῖς οἰκείαις πίστεσι, λαμβάνει πρὸς τὸ κεφάλαιον τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ὁμογενῆ τῷ κεφαλαίῳ μεθοδεύσας αὐτήν, οὐχ ὡς ἀντίθεσιν, ἀλλ' ὡς ἐπιτίμησιν πρὸς τοὺς ῥήτορας. τί δέ φησι; Τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα πόλεμον κελεύουσιν, ἐκεῖνο λέγω. αὕτη ἐστὶν ἡ ἀντίθεσις.

βουλόμενος δὲ μὴ πραγματικὴν αὐτὴν ποιῆσαι μηδ' ἰσχὺν αὐτῇ περιθεῖναι, διαβάλλει αὐτὴν ἐν τῇ * θέσει, καὶ πρὸς τοὺς ῥήτορας τὸν λόγον ποιεῖται, ὡς νῦν θρασυνομένους, τότε δ' ἐν τοῖς κινδύνοις ἀποδειλιῶντας; τῷ μὲν δοκεῖν, πρὸς τοὺς ῥήτορας λέγων; τῇ δ' ἀληθείᾳ, πρὸς τὸν ἀκροατὴν αἰνιττόμενος; ὅτι οὐ δεῖ θρασύνεσθαι, ἵνα μὴ μεταγνῶσιν ἐν τοῖς ἔργοις γενόμενοι. εἶτα ἑτέρᾳ λύσει κέχρηται τῇ ἀπὸ τοῦ δυνατοῦ. μερίζει δὲ τὸ δυνατὸν εἰς τὸ χαλεπὸν ὅτι δυσχερὲς, ἐν τοῖς ἐκείνου τόποις πολεμεῖν, τοῦ τριήρεις τοσαύτας, καὶ χρημάτων πλῆθος καὶ ἐπικαίρους τόπους κεκτημένου, τό, τε ῥᾴδιον, ὅτι εὔκολος ἡμῖν ὁ πρὸς ἐκεῖνον ἔσται πόλεμος, εἰ ἐκεῖνος ἐπέλθῃ τῶν ἑλλήνων κοινῇ συναγωνιζομένων. εἶτα τῷ συμφέροντι πάλιν, ὅτι διὰ ταῦτα τοίνυν παραινῶ μὴ προτέρους αἱρεῖσθαι τὸν πρὸς ἐκεῖνον πόλεμον, ἀλλὰ παρασκευάζεσθαι. πάλιν δὲ ἐκ τῆς ἐργασίας ἀντέπεσε πρὸς τοῦτο τὸ ἐπιχείρημα, ὅτι ἀλλ' ἐὰν παρασκευαζώμεθα, οὐδὲν ἧττον δόξομεν αἱρεῖσθαι πόλεμον. ἐξ οὗ συνάγεται τὸ δεινόν, εἰ δεῖ συστρατεύεσθαι τοὺς ἕλληνας. τοῦτο τὸ ἀντιπίπτον οὐκ ἔθηκεν ἐκ τοῦ προφανοῦς, ἔλυσε δὲ φανερῶς, εἰπών. εἰ μὲν οὖν ἕτερός τις τρόπος ἦν δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι; ἕτερος δέ τις ᾧ τοὺς ἕλληνας; εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον ἐγινόμεθα ἀντιταττόμενοι. τουτέστιν, εἰ παρασκευαζόμεθα ἡμεῖς, οὐκ ἤδη δῆλον ἔσται, ὅτι πρὸς βασιλέα τὴν παρασκευὴν συγκροτοῦμεν, ὥστε οὐ δόξετε ἄρχειν πολέμου. εἶτα ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν τὴν ἀπὸ τοῦ συμφέροντος, ἄλλο μέρος ἐνταῦθα λύων. * τοῦτο δέ ἐστι, καὶ νῦν μὲν συγκαλοῦμεν τοὺς ἕλληνας, ἐντεῦθεν ἄρχεται λύειν. τοῦτο δὲ τὸ μέρος τῆς ἀντιθέσεως μὴ θείς, ἀνακαλύπτει τῇ λύσει. τί γὰρ φησί. καὶ νῦν μὲν συγκαλεῖτε πρὸς ὑμᾶς αὐτοὺς τοὺς ἕλληνας. ἐὰν δὲ ἃ κελεύουσιν οὗτοι μὴ ποιεῖτε, τουτέστιν ἂν περὶ τῆς ἡγεμονίας ὑμῖν ἀμφισβητῶσιν, ὡς κοινοῦ τοῦ πολέμου τυγχάνοντος; πῶς προσδέξεσθε τὴν ἀμφισβήτησιν εἶτα ἑτέρᾳ λύσει τῇ ἀπὸ τοῦ καιροῦ. ὅτι ἐπειδὰν αὐτὸς ἐπιστῇ βασιλεὺς, εἶθ' ἑκόντες αὐτοὶ προθυμήσονται, καὶ ἀπὸ τῆς δυνάμεως τῆς πόλεως, ὅτι οὐκ ἔστιν ὅς τις ὁρῶν ὑμᾶς μεγίστην δύναμιν ἔχοντας, οὐ μεθ' ὑμῶν ἀξιώσει τετάχθαι. ἓν μὲν δὴ τοῦτο μέρος τοῦ λόγου πεπλήρωται, προτρεπτικὸν τοῦ συμφέροντος. οὗ τὸ μέν ἐστι προηγούμενον. τὸ δὲ δεύτερον, προηγεῖται μὲν γὰρ ἐξ ἀρχῆς δημοσθένους γνώμη, * αὐτὸς δὲ ὡς οἰκείαν εἰσηγεῖται, φάσκων ἀσύμφορον, κατεπείγουσαν ἐπὶ τὸν πόλεμον. πέρας δὲ τούτοις ἐπιθεὶς τοῖς μέρεσι τοῦ συμφέροντος, ὃ πολλὴν μίξιν ἔχει καὶ κοινωνίαν. τὸ μὲν πρὸ τῆς ἀντιθέσεως, πρὸς τὸ δυνατὸν καὶ δίκαιον; τὸ δὲ μετὰ τὴν ἀντίθεσιν, πρὸς τὸ δυνατὸν εἰρημένον πρὸς ἀναίρεσιν τῆς ἀντιθέσεως; μεταβαίνει λοιπὸν ἐπ' αὐτὸ καθαρῶς τὸ δυνατὸν, κατασκευὴν ἔχον τῆς παρασκευῆς τῆς πόλεως. προοιμιάζεται δὲ πρὸ τοῦ κεφαλαίου, ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ τὴν χρείαν μεθ' ὅσης ἐργασίας καὶ πόνων ἐξεῦρεν; ἵνα προτρέψηται διὰ τῶν προοιμιακῶν τούτων τὸν ἀκροατὴν προσδέξασθαι, ὡς κάλλιστα καὶ ἐντελέστατα τὸν λόγον ἐξευρημένον. καὶ ἔστιν ἀρχὴ τοῦ προοιμίου; Ἐγὼ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, ταῦτά τε καὶ τὰ παραπλήσια τούτοις; τῆς μὲν ἐπιβολῆς τοῦ προοιμίου συμπέρασμα τῶν προειρημένων ἐχούσης; ἀρχὴν δὲ τῶν μελλόντων. λήγει δὲ εἰς ταύτην τὴν ἔννοιαν. Οἶμαι δὲ δεῖν ἀκούσαντας ὑμᾶς, αὐτὴν ἂν ὑμῖν ἀρέσκῃ ψηφίζεσθαι. Μετὰ δὲ τὸ πέρας τοῦ προοιμίου προκατασκευῇ κέχρηται πρὸς αὐτὸ τὸ κεφάλαιον, ἐπειδὴ γὰρ οἶδε χαλεπὰ συμβουλεύσων, καὶ τοῖς εὐπόροις διὰ τὰς εἰσφορὰς, καὶ τοῖς τριηράρχοις διὰ τὴν λειτουργίαν; πρόθυμον τὸν ἀκροατὴν πρὸς τὰς πράξεις,

A Quia verò nolebat eam efficere acrem, & augere viribus:criminatur * eam in theſi, & aduerſus oratores orationem inſtituit, vt qui nunc quidem ſint feroces, tum verò in periculis metu debilitentur. ac videri quidem vult pertinere hæc ad oratores: ſed tamen obſcurè auditores tangit, & monet, non eſſe ferociẽdum: vt ne eos rem aggreſſos conatuum pœniteat,. Deinde alia refutatione vtitur, à facultate ſumpta. Diuidit autem facultatem in difficultatem gerendi in illius ditione belli, qui tantam claſſem, tantam pecuniæ vim, & opportuna bello gerendo loca teneat: in facile, expeditam fore belli gerendi rationem, ſi nos ille inuaſerit, Græcis nos communi ope iuuantibus. Poſtea rurſus ab vtili argumentatur: Propterea, inquit, vos moneo, ne bellum priores cum eo ſuſcipiatis, ſed vos paretis. Sed in tractatione huius epicherematis iterum obiici poterat: At ſi nos parauerimus, nihilominus bellandi cupidi videbimur. Vnde colligitur graue illud, Vtrum expeditionis ſocij Græci eſſe debeant? Hanc obiectionem apertè non poſuit, ſed B apertè ſoluit, his verbis: Quòd ſi alia eſſet eius exercitus ratio, quo Barbari vlciſcendi ſunt, alia quo Græci: fortaſſe haud ab re nos illi aduerſari, celare non poſſemus. hoc eſt, Si nos parabimus: non ſtatim apparebit, apparatum illum ad infeſtandum Barbarum pertinere. Quare non videbimini? auſpicati bellum. Hinc ad ſequentem obiectionem ab vtili accedit, aliam partẽ ibi ſoluens. Ea verò eſt, Ac nunc quidem ſi conuocamus Græcos. Hinc incipit refutare. Quàm partem obiectionis cum non poſuerit, refutatione aperit. Quid verò ait? Nunc ad vos conuocatis Græcos: ſi verò quæ iubent non faciatis: hoc eſt, ſi de principatu vobiſcum contendent, quòd commune ſit bellum: quomodo admittetis contentionem? mox alia refutatio à tempore ſumitur: Vbi ipſe rex, inquit præſtò fuerit, vltrò ipſi ſtrenuam operam nauabunt. Et à viribus vrbis, Nemo erit, ſi viderit vos maxima præditos eſſe potentia, quin vobiſcũ coniunctum ſeſe velit. Ac vna quidem hæc orationis pars, continens vtilitatis, abſoluta eſt; cuius altera C principalis eſt, altera ſecundaria. Principalis enim eſt * primordio ſententia Demoſthenis quam ipſe pro ſua introducit: inutilem eſſe eam aſſerens, quæ ad bellum hortetur. Abſolutis igitur his vtilitatis partibus, * multam miſtionem habet, & communionem, id quod obiectionem antecedit, cum facultate & iuſto: id verò quod eandem ſequitur, cum facultate, quæ eſt expoſita ad euerſionem obiectionis: demum rectà ad ipſam facultatem accedit, quæ confirmationẽ habet vrbani apparatus. Præfatur autẽ ante id caput, vt oſtẽdat exquiſitam diligentiam, quantáque induſtria, & quantis laboribus, id quod ex vſu futurum ſit, inuenerit, vt per hęc exordij verba hortetur auditorem ad probandam orationem, tanquam pulcherrimè & perfectiſſimè inuentam. Eſt autem exordij principiũ: Ego igitur, Atheniẽſes, & hæc & cõſimilia his: Cũ quidem acceſſus ad exordium concluſionem ſuperiorũ contineat, & principium ſequentium. Loquitur autem in hanc ſententiam. Ego verò arbitror eam à vobis, ſi audita placuerit, decernendam eſſe. Poſt exordij finem præparatione ad ipſum caput eſt vſus: vt, quia ſciebat ſe difficila ſuaſurum, tum diuitibus propter tributa, tum trierarchis propter publicum munus, auditorem & promptum ad res gerendas,

& beneuolum ad orationem audiendam ſibi faceret. Ac præparationis initium eſt, Primū igitur in apparatu eſt Athenienſes: finis verò, Vnuſquiſque verò ſeorſim per ſe nihil facturus, ſed proximum aliquem facturum ſperans, nihil vnquam vobis confectum eſt. Accedit autem ad ipſum caput ab his verbis: Quod ſi vos ita fueritis affecti & concitati, mille & ducentos. Diſputationem verò de apparatu ſummatim tripartitā facit. Primùm trierarchos, & facultates eorum & triremes. Deinde facultates omnium eorum, qui in vrbe habitant, à qua ſuppeditari ſumptus debent. Poſtremò locum, & naualia, quæ triremibus paranda ſint. Diuidit autem horum ſingula in naues centum duntaxat, ſi leuius ſit bellum: vt triremem præbeant duodeni viri. nam duodecies centum ſunt mille & ducenta. Sin bellum paulo grauius fiat, & mediocri cum apparatu ingruat rex: ducentas præbeant triremes mille ducenti trierarchæ: vt ſeni viri ſingulas triremes inſtruant, & grauius onus ſuſtinere ſit neceſſe. Sin multo maiore apparatu ſit opus reipublicę & rex robore maiori veniat inſtructus: quaternos viros ſingulas triremes præbere oportere. Quater enim treccenta, mille ſunt & ducenta. His verò trierarchiam obeundam, vt quaterni vnam triremen reipublicæ præbeant. Ac diſputatio quidem de trierarchis & nauibus ita ſe habet. Facultates autē mille ducentorum trierarchorum ſexies mille talentis æſtimat, eaque ſexies mille talenta in centum partes diuidit, per ſexagena talenta. ſexagies enim centum ſūt ſex millia: vt ſi bellū fiat leuius, duodeni vnā nauē inſtruāt qui facultates poſſideāt ſexaginta talētorū: ſin graui' paulò fiat, vt ſeni viri triremē præbeāt qui tricenûm talētûm facultates poſſideant: ſin grauiſſimum, vt quaterni viri trierarchi ſint vnius nauis, facultates poſſidentes viginti talentûm. Ac oratio de trierarchis & opibus eorū & triremibus hîc finitur. Earū verò implendarum rationē in hunc diſtribuit modum. Decem Athenarum ſunt tribus. triremes igitur tricenas vnicuique tribui aſſignat. Nam decies trigenta ſunt trecenta. Diuidit autem triginta haſce triremes ſimul trifariam denario numero, & tribum in ternas partes: & poſtulat vt tertia tribus pars, hoc eſt triens, compleat decem triremes, ad bellicos vſus. Præterea ſuadet vt triginta naualia tributim extruātur in Piræeo, vt ſingulæ denæ naues in ſingulis naualibus conſeruari poſſint. Reſtat vt dicendum ſit de tertia parte apparatus, quæ eſt exactio & ſtipendium militum. quam exactionem numerari oporteat ab omnibus, qui opes in vrbe habeant. Recuſat autem ea de re nunc diſputare, & ſuadet, ne quid de ea moueatur, donec reuera immineat bellū illud regium. Non enim expedire vt nunc inquiratur, ne locupletes ſuā pecuniam diſſimulent. Hæc ſunt quæ de potentia vrbis diſſeruit. Rationem tamen illam de pecunia ſumpſit ab obiectione: cum & auditor commeatum expeditum & paratum quæreret: & orator caput ex obiectione peteret: Et vnde vobis pecunia ſuppetitura ſit quæritis? &, palàm dic qui ſit commeatus? Ipſe verò ſolui ita vt diximus, iubens modò non quęri, ſed in poſterum differri eius rei conſiderationem. Tum enim pecuniam præſtò futuram, cum rex venerit. His epicherema adiecit: Si has copias inſtruxerimus,

A καὶ εὔνουν, πρὸς τὸν λόγον, ἑαυτῷ κατασκευάζει. καὶ ἔστι μὲν ἀρχὴ τῆς προκατασκευῆς· Ἔστι τοίνυν πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἄνδρες Ἀθηναῖοι· Πέρας δέ· αὐτὸς μὲν ἕκαστος οὐδὲν ποιήσων· τὸν δὲ πλησίον πράξοντα· οὐδὲν πώποτε ὑμῖν ἐγένετο. Εἰσβάλλει τοίνυν εἰς αὐτὸ τὸ κεφάλαιον ἐκ ταύτης τῆς λέξεως, ἐχόντων δὲ ἡμῶν οὕτω, καὶ παρωξυμμένων· τοὺς διακοσίους, καὶ χιλίους. διαιρεῖ τοίνυν τὸν τῆς παρασκευῆς λόγον κεφαλαιωδῶς εἰς τρία· πρῶτον μὲν, εἰς τριηράρχους καὶ τὴν οὐσίαν αὐτῶν, καὶ τὰς τριήρεις. εἶτα καὶ εἰς τὴν οὐσίαν πάντων τῶν οἰκούντων τὴν πόλιν, ἀφ᾽ ἧς δεῖ τὰ ἀναλώματα γίνεσθαι. τρίτον δὲ, εἰς τὸν τόπον καὶ τοὺς νεωσοίκους, οὓς δεῖ κατασκευασθῆναι ταῖς τριήρεσι. διαιρεῖ δὲ τούτων ἕκαστον εἰς ναῦς ἑκατὸν μόνας, εἰ κουφότερος εἴη ὁ πόλεμος. καὶ τὴν τριήρη παρεχέτωσαν δυοκαίδεκα ἄνδρες, B δωδεκάκις γὰρ ἑκατὸν, χίλια καὶ διακόσια. εἰ δὲ ὀλίγῳ βαρύτερος ὁ πόλεμος γένοιτο, καὶ μέσως ἔχων παρασκευῆς ἥκει ὁ βασιλεύς· διακοσίας παρεχέτωσαν τριήρεις οἱ χίλιοι καὶ διακόσιοι τριήραρχαι· ὡς παρέχειν ἓξ ἄνδρας τὴν τριήρη· καὶ ὑπομένειν ἀνάγκη βαρύτερον τὸ λειτούργημα. εἰ δὲ πολλῷ πλείονος παρασκευῆς τῇ πόλει γένοιτο χρεία, καὶ βασιλεὺς ἔλθοι πλείονι ῥώμῃ παρεσκευασμένος· τοὺς τέσσαρας ἄνδρας παρέχειν δεῖ φησὶ μίαν ναῦν. τετράκις γὰρ τριακόσια, χίλια καὶ διακόσια. τούτους δὲ τριηραρχεῖν, παρέχοντας τῇ πόλει τριήρη μίαν τοὺς τέσσαρας. καὶ ὁ μὲν λόγος ὁ περὶ τῶν τριηράρχων καὶ τῶν νεῶν, οὗτός ἐστι. τὴν δὲ οὐσίαν τῶν χιλίων διακοσίων τριηράρχων τετίμηται ταλάντων ἑξακισχιλίων. τὰ τοίνυν ἑξακισχίλια τάλαντα, διαιρεῖ εἰς ἑκατὸν μέρη, κατὰ ἑξήκοντα τάλαντα. ἑξηκοντάκις γὰρ ἑκατὸν, ἑξακισχίλια· ἵνα ἐὰν μὲν κουφότερος ὁ πόλεμος γένηται· δύνωνται τριηραρχεῖν δώδεκα εἰς μίαν ναῦν, οὐσίαν κεκτημένοι ταλάντων ἑξήκοντα. εἰ δὲ βαρύτερος ὀλίγῳ γένοιτο τριήραρχοι ἓξ ἄνδρες, οὐσίαν κεκτημένοι τριάκοντα ταλάντων. C εἰ δὲ βαρύτατος· τέσσαρες ἄνδρες τῆς μιᾶς νεὼς, οὐσίαν κεκτημένοι ταλάντων εἴκοσι. καὶ ὁ μὲν περὶ τῶν τριηράρχων, καὶ τῆς οὐσίας αὐτῶν καὶ τριήρων λόγος, ἐνταῦθα τὸ πέρας εἴληφε. τὸν δὲ περὶ τῶν πληρωμάτων τούτων τούτων, διεῖλε τὸν τρόπον τοῦτον. δέκα τῶν Ἀθηναίων εἰσὶ φυλαί. τριήρεις τοίνυν τριάκοντα, ἑκάστῃ προσνέμει φυλῇ. δεκάκις γὰρ τριάκοντα, τριακόσια. διαιρεῖ δὲ τὰς τριάκοντα ταύτας τριήρεις ὁμοῦ τρίχα κατὰ δέκα. καὶ τὴν φυλὴν εἰς μέρη τρία. καὶ ἀξιοῖ τὸ τρίτον μέρος τῆς φυλῆς, τουτέστι τὴν τριττὺν, πληροῦν τὰς δέκα τριήρεις εἰς τὰς τοῦ πολέμου χρείας. ἔτι δ᾽ εἰσηγεῖται τριάκοντα νεωσοίκους κατὰ φυλὴν ἑκάστην κατασκευασθῆναι ἐν τῷ Πειραιεῖ, ὡς δύνασθαι τὴν μίαν ναῦν ἐν ἑκάστῳ νεωσοίκῳ σώζεσθαι. λοιπόν ἐστιν εἰπεῖν περὶ τοῦ τρίτου μέρους τῆς παρασκευῆς. τοῦτο δέ ἐστιν ἡ εἰσφορὰ, καὶ ὁ μισθὸς τῶν στρατευομένων. ἥν τινα εἰσφορὰν δεῖ γενέσθαι παρὰ πάντων τῶν κεκτημένων οὐσίας κατὰ τὴν πόλιν. τὸν τοίνυν ὑπὲρ τούτου λόγον ὑπερτίθεται νῦν, καὶ ἀξιοῖ μὴ γυμνάζειν περὶ τούτου μηδὲν, ἕως ἂν ὄντως ἐνστῇ ὁ βασιλέως πόλεμος. μὴ γὰρ συμφέρειν νῦν ζητεῖν, ἵνα οἱ τὰς οὐσίας ἔχοντες μὴ ἀρνήσωνται. ταῦτα μὲν οὖν ἐστιν ἃ περὶ τοῦ δυνατοῦ τοῦ τῆς πόλεως διείλεκται. εἴληφε μέντοι τὸν περὶ τῶν χρημάτων λόγον ἐξ ἀντιθέσεως, ζητοῦντος τοῦ ἀκροατοῦ τὴν εὐπορίαν ἐκ τοῦ παραχρῆμα· λαμβάνοντός τε τοῦ ῥήτορος ἐξ ἀντιθέσεως τὸ κεφάλαιον. καὶ πόθεν ὑμῖν ἔσται τὰ χρήματα φατέ. καὶ λέγε φανερῶς τὸν πόρον ὁ δὲ λύσεν ὡς ἔφαμεν, ἀξιῶν μὴ νῦν ζητεῖν, εἰς δὲ τὸν μέλλοντα χρόνον ὑπερτίθεσθαι τὴν περὶ τούτων ἐπίσκεψιν. τότε γὰρ ἔσεσθαι τὸν πόρον, ἐπειδὰν ἥκῃ βασιλεύς. εἶτα ἐπήνεγκεν ἐπιχείρημα ἐπὶ τούτοις. ὅτι εἰ ταύτην τὴν δύναμιν παρασκευασόμεθα,

μᾶλλον

μᾶλλον αὐτὸν ἀμυνούμεθα, ἢ οἱ πατέρες. διότι ἡμεῖς μὲν κεκτήμεθα τριακοσίας τριήρεις μόνοι. τὸ δὲ παλαιὸν, διακοσίας πάντες οἱ ἕλληνες· καὶ οὕτω πεπλήρωκε τὸν λόγον πάντα τὸν περὶ τοῦ δυνατοῦ τῆς πόλεως. ἐντελῆ δὲ τὴν ἐργασίαν τοῦ κεφαλαίου τιθεὶς, οὐ μόνον τὸ δυνατὸν ἐξετάζει τῆς πόλεως. ἀλλὰ καὶ τὸ ἀντικείμενον. μεταβαίνει τοίνυν ἐπὶ τὸ τοῦ βασιλέως δυνατόν. τοῦτο δὲ κατ' ἀντίθεσιν λαμβάνει. ἀλλὰ χρήματά φησιν ἐπάξεται βασιλεύς. πολλὰ γὰρ περιβέβληται. τοῦτο τέως μέρος πρῶτον αὐτοῦ τιθείς. δεῖ γὰρ αὐτῇ προστεθῆναι, τίνος ἕνεκα φοβοῦνται τὰ βασιλέως χρήματα. τέως δ' ἐμέρισεν, ἵνα εὐπετὴς αὐτοῦ πρὸς τὴν λύσιν γένηται. λύει τοίνυν αὐτὴν ἐκ συγκρίσεως, εἰπών. Τὸ μὲν ἐκείνου ῥᾳδίως ἀναλωθήσεσθαι, καὶ μηδαμόθεν ἕξειν ἐπικουρίαν. ἀθηναίους δὲ, ἐκ τῆς χώρας κατὰ μέρος λαμβάνοντας. μηδέποτε τῶν ἀναγκαίων ἀπορήσειν. καὶ τοῦτο εἶναι τὸ μέγιστον, τὸ κρατοῦντας τῆς οἰκείας χώρας, καὶ τὰς ἀφορμὰς ἐκ ταύτης λαμβάνοντας αὐτῶν πολεμεῖν. Ἑτέραν τοίνυν ἀντίθεσιν ἔλαβεν, ἀκόλουθον τῇ προειρημένῃ. μᾶλλον δὲ μέρος ἔλαβε τῆς πρὸ αὐτῆς. ἀλλὰ δέος μὴ πολὺ μισθοφορικὸν ἐκ τῶν ἑλληνικῶν, χρήματα ἔχων βασιλεὺς ἀθροίσει; δίχα δὲ ταύτην διαιρεῖ. καὶ τὸ μὲν πρῶτον μέρος λύσεν ὡς ἤδη δέδεικται. τὸ δὲ δεύτερον, ἐντεῦθεν ἄρχεται. καὶ μὴν οὐδ' ὅ τινες δεδίασι. λύει δὲ μεταληπτικῶς. εἰ μὲν γὰρ ἑτέροις στρατεύοιτο βασιλεύς. ὑπακούσαι ἂν τοῖς τῶν ἑλλήνων μισθοφόροις. εἰ δ' ἐπὶ τὴν ἑλλάδα. οὐχ ὑπακούσαι. εἶτα ἑτέρᾳ μεταλήψει, ἀπὸ τῆς τοῦ βασιλέως γνώμης, ὅτι οὐδὲ ἐκείνῳ συμφέρει, διὰ τῶν ξένων κρατῆσαι. παρασκευάζει γὰρ αὐτοὺς καταφρονεῖν τῆς αὐτοῦ δυνάμεως. τρίτην ἀντίθεσιν ἔλαβεν ἐκ τοῦ αὐτοῦ δυνατοῦ, καὶ τῶν συμβησομένων αὐτοῖς πλεονεκτημάτων, εἰ ἀναμείναιεν αὐτὸν εἰς τὴν ἑλλάδα ἐλθεῖν. ἔστιν οὖν ἡ τρίτη, ἀλλὰ δέος μὴ θηβαῖοι δεῦρο τοῦ βασιλέως ἐλθόντος, τῆς ἐκείνου γένωνται γνώμης, ταύτην λύσεν ἐνστάσει, εἰπών. μὴ ἂν ἐθελῆσαι θηβαίους μετ' ἐκείνου γενέσθαι. καὶ μεταλήψει, ἀλλὰ μᾶλλον ἂν εὔξασθαι τοῖς θεοῖς καιρὸν γενέσθαι ἀπολογήσασθαι ὑπὲρ ὧν πρότερον ἥμαρτον, ἢ πάλιν ἐπαντλῆσαι ταῖς προτέραις αἰτίαις καὶ δευτέρας διαβολάς. τρίτη λύσις. εἰ δὲ καὶ θηβαῖοι μετ' ἐκείνου γενήσονται. ἀλλ' οὖν γε οἱ τῶν θηβαίων ἐχθροὶ μετὰ τῶν ἑλλήνων ἔσονται. εἶτα ἐπισφραγισάμενος καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι, καὶ τῷ δυνατῷ. δίκαιον μὲν ὅτι οὐ δεῖ προτέρους κατάρχειν. δυνατὸν δὲ, ὅτι περιγενήσονται τῶν προδότων θηβαίων λέγει, καὶ ἀργείων, καὶ τῶν μισθοφόρων. συμφέρον δὲ ὅτι οὐ χρὴ πρώτους ὑπάρξαι τὸν πόλεμον ἐκφέρειν. μετέβη λοιπὸν ἐπὶ τὴν τῶν ἑλλήνων ποιότητα. ἀλλὰ δέος μὴ καταπλαγέντες οἱ ἕλληνες τῷ πολέμῳ, ἐπελθόντος βασιλέως, προῶνται τὴν ἑλλάδα. ταύτην λύσεν ἐνστάσει. εἶτα κατεσκεύασε μεταληπτικῶς. ὅτι, ἕως μὲν αὐτὸν κοινὸν ἐχθρὸν ἐνόμιζον, πολλῶν ἀγαθῶν ἐγένοντο κύριοι. ἀφ' οὗ δὲ φίλον αὐτὸν ᾠήθησαν, πάντα πεπόνθασι τὰ ἔσχατα.* τὸ οὐκοῦν καλὸν μὲν αὐτοὺς φαίη τις ἂν, αὐτὴν ἔλαβεν ἐξ ἀκολουθίας τὴν ἀντίθεσιν. εἶτα μὴ θεὶς αὐτὴν, λύσεν εἰπών. μὴ νῦν καλῶμεν ὅτε οὐχ ὑπακούσονται. μὴ νῦν πολεμῶμεν, ὅτε οὐ δυνησόμεθα. εἶτα ἐπισυνῆψε καὶ ἕτερον μέρος τοῦ συμφέροντος, ὅτι ὑπὲρ ἡμῶν, τὸ τὸν βασιλέα στρατεῦσαι δεῦρο. οὕτω γὰρ ἂν διαλλαγεῖεν ἀλλήλοις οἱ ἕλληνες, ἐπὶ τούτοις ἐπήγαγε τοὺς ἐπιλόγους, ἀνακεφαλαίωσιν ἔχοντας. πρῶτον μὲν ἀπὸ τοῦ δικαίου. μὴ παραβαίνειν τοὺς ἑαυτῶν ὅρκους, μὴ συγχέειν συνθήκας προτέρους, καὶ δεῖν ἀμύνεσθαι βασιλέα ἐπιόντα, ἀλλὰ μὴ στρατεύεσθαι ἐπὶ τὴν ἐκείνου χώραν. περὶ τῆς παρασκευῆς, ὅπως ἂν εὐπρεπὴς γένοιτο ἔργῳ, μᾶλλον ἢ λόγῳ ζητεῖν. ὅπως ἄξια ἔσται τὰ ἔργα τῶν προγονικῶν πράξεων.

A fortius eum vlciſcemur, quàm noſtri patres: quia nos ſoli nunc trecentas triremes poſſidemus: olim ducentas tantum vniuerſi Græci. Abſoluit omnem orationem de potẽtia vrbis: poſitáque integra capitis tractatione, non ſolùm vires vrbis conſiderat, ſed etiam aduerſarij. Proinde tranſit ad regis potentiam, eámque obiectionis ſpecie ſumit. At pecuniam inquit, adducet rex, cuius copiis circumfluit. Hic interim primam eius partem ponit. Adiiciẽdum enim ei eſt, quamobrem pecuniam regis metuant. Eam verò interim diuiſit, vt facilis ad ſoluendum fieret: ſoluit autem eam per comparationem, his verbis: Illius pecuniam facile conſumptum iri, nec aliunde ſubſidiũ habiturum. Athenienſes verò qui è ſuo agro per vices accipiant, nunquam rebus neceſſarijs cardituros. & hoc eſſe maximum, quòd ſuam ditionem teneant, & commeatus inde accipientes cum eo bellaturi ſint. Aliam item obiectionem mouet priori conſequentẽ, vel partem potius præcedentis: Sed verendum eſt, ne rex pecunijs abundans, magnum peditatũ, multóſq;
B milites è Græcia mercenarios contrahat. Bifariam autem hanc diuidit. Ac primam partem refutat, vt iã oſtenſum eſt. Secundam hinc orditur, ſoluítque per tranſlationem: Siquidem alios oppugnaret rex, Græcorum mercenarios illi fortaſſe præſtò futuros: ſin Græciam minimè quidem id facturos. Addit & aliam tranſlationem ab animo regis, ne illi quidem expedire, vt per conducticios victoria potiatur: quòd ita ſuã potentiam apud eos contemptam redderet. Tertiam obiectionem ſumpſit ex eius potentia, & euenturis ei commmoditatibus, ſi non expectarent dum Græciam inuaderet. Eſt igitur tertia: Sed metuendum, ne rege huc aduentante, cum eo conſpirent? Hanc ſoluit per inſtantiam his verbis, Minimè ſe Thebanos cum eo coniuncturos dijs potius, occaſio ſibi vt detur excuſandi, delicta ſuperiora, quã vt priora crimina nouis vituperationibus cumulent. Tertia refutatio hæc eſt, Si Thebani cum eo facient: Thebanorum hoſtes ſe cum Grecis certè coniungent. Tandem & iuſto &
C vtili & poſſibili obſignat: iuſto, non oportere priores laceſſere: poſſibili, eos fore ſuperiores Thebanis, & Argiuis, & mercenariis: vtili, eos adduci non debere, vt primi bellum inferant. Tranſit tandem ad Græcorum qualitatem: At metuendum eſt, ne periculi Græci regis aggreſſione, Græciam deſtituant. Hanc ſoluit per inſtantiam, deinde confirmat tranſlatione. Dum eum communem hoſtem iudicarint, magna potentia & felicitate eos floruiſſe: cum primùm verò ſibi amicum crediderint, extrema quæque eſſe perpeſſos.* Proinde vocare eos aliquis dixerit.) Hanc è conſequenti ſumpſit obiectionem. Deinde non poſitam ſoluit his verbis, Ne vocemus eos nunc, cum nõ obtemperabunt: ne nunc belligeremus, cum non poterimus. Pòſt & aliam partem vtilitatis ſubiicit. E re noſtra eſt vt rex huc irrumpat, ſic enim reconciliabuntur inter ſe Græci. Mox addit epilogos, qui enumerationem capitum continent: pimùm à iuſto, ne ſuum iuſiurandum violent: ne ipſi priores fœdus rũpant, debere eos vſciſci regem vim facientem: in eius finibus bello infeſtare non debere. De apparatu, vt reipſa magis quàm verbis parati ſint : vt eorum facinora rebus maiorum geſtis reſpondeant:

ne verbis freti ſint, ſed ipſa re ſeſe parent, vt ſint in tuto. Quę ſententia valde affinis eſt illi, quæ in exordio ponitur: & ſic abſoluit orationem.

ENARRATIO ORATIONIS DEMOSTHENIS pro libertate Rhodiorum, Hieronymo Vuolfio interprete.

ARbitror oportere vos, Athenienſes, tantis de rebus deliberantes, dare liberè dicendi poteſtatem vnicuique conſulentium.) Qui inſulas & maritimam oram incolebant Byzantium vſque ſocij fuerant olim Athenienſium. Sed cum ſpe libertatis deſciuiſſent: bellum geſſere cum Athenienſibus: eóſque belli moram pertæſos coegerunt pacem facere ſecum, ſic vt liberi & ſui iuris eſſent. Poſt hæc Artemiſia de regis Perſarum ſententia, Rhodiorum diuites adiuuante, potentes opprimunt populum, & Rhodiæ vrbis imperium locupletes occupant. Confugit igitur populus ad vrbem Athenienſium libertatis reſtitutionem petens. Demoſthenes cenſet opem ferendam populo Rhodiorum. Si quiſquam autem alius Athenienſibus bello ſociali moleſtus fuerat, & cęteros ad defectionem impulerat: id crimen in populo Rhodiorum cum primis hærere conſtabat. Quapropter Athenarum vrbs eis præter cæteros irata erat, vt præcipuis defectionis autoribus. Proinde ab omni parte ſuaſori difficilis eſt oratio, defendēti homines, qui & defecerant, & multis vrbem cladibus affecerāt. Neque verò hoc ſolum concionatori obſtat: ſed & regis Perſarum metus. Nec enim leue, neque tutum eſſe videbatur, Regis per locupletes inſula penè potiti ſuſpicere inimicitias. Nam ad illum res pertinebant. Aduerſus igitur horum vtrumque firmiſſima duo oppoſuit: Rhodiorum perfidiæ magnanimitatē ciuitatis, & Græcis qui afficiantur iniuriis, opitulandi conſuetudinem, & illuſtrem gloriam quę inde ad rē publicam reditura ſit, omnibus Græcis ad eam, hoc ſi fecerint, reſpecturis. Aduerſus regis metum, & iuſtum & facultatem oppoſuit, & tertio loco vtilitatē. Ac facultatem, quòd rege aduerſis rebus conflictante, & ſuperato, nec Artemiſia Rhodiorum dominos adiutura ſit, nec ipſe rex: Iuſtum, quòd rex curam ſuſcepturus non ſit hominum nihil ad ſe pertinentium: quòd & Græci ſint Rhodij, & ad regis imperio ſeparati.

Vtile homines eos non negligendos, etiamſi rex, Rhodiorum curam ſuſceperit. Id enim ſi fieret, argumento fore, eum non modò Rhodiis, ſed etiam Græcis omnibus velle imperare. Sic igitur orationē diuiſit, & hæc negociorum natura eſt. Quo autem pacto horū ſingula diſpoſuerit, quóve modo tractarit, ab initio eſt explicandum, & ab exordio auſpicandū.

Arbitror oportere vos.) Quàm parum argumento fidat, per ipſam aggreſſionem oſtendit. Nam cum liberè defendere non auderet homines, qui & multis & magnis iniuriis affeciſſe populum videbantur, per eam ſententiam quæ ſtatim ſequitur, occupat auditorem: & id elicere ſtudet, vt fateatur, ſe conſiliis obtemperaturum. Exordium igitur his duabus ſententijs conſtat, vt & dicentem ferant, & perſuaderi ſibi ſinant, vt orationem reipſa exequantur. Secundi exordij eſt captatio beneuolentiæ, cum ait,

A μὴ τοῖς λόγοις πιστεύειν, ἀλλὰ τοῖς ἔργοις ἀσφαλῶς παρασκευάζεσθαι. αὕτη δὲ ἡ ἔννοια πλείστην ἔχει συγγένειαν πρὸς τὴν ἐν τῷ προοιμίῳ. ἐπὶ τούτοις καταστρέφει τὸν λόγον.

ΕΙΣ ΤΟΝ ΥΠΕΡ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ, δημοσθένους λόγον, ἐξήγησις.

ΟἼμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους, διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. Συνεμάχουν ἀθηναίοις ποτὲ οἱ νησιῶται, καὶ οἱ τὴν παραλίαν οἰκοῦντες ἄχρι τοῦ βυζαντίου. εἶτ' ἀποστάντες εἰς ἐλευθερίαν, ἐπολέμησαν ἀθηναίοις. καὶ μηκυνομένου τοῦ πολέμου, ἠναγκάσθησαν εἰς συνθήκας ἐλθεῖν πρὸς αὐτοὺς οἱ ἀθηναῖοι, ὥστε αὐ- B τονόμους εἶναι καὶ ἐλευθέρους. καὶ μετὰ ταῦτα βασιλέως γνώμῃ βοηθούσης ἀρτεμισίας τοῖς κατὰ τὴν ῥόδον εὐπόροις, ἐπιτίθενται τῷ δήμῳ, οἱ δυνατοί. καὶ ἄρχουσι τῆς ῥοδίων πόλεως, οἱ τὰς οὐσίας κεκτημένοι. κατέφυγεν οὖν ὁ δῆμος ἐπὶ τὴν ἀθηναίων πόλιν, ἀξιῶν ἐλευθερίας τυχεῖν. δημοσθένης δὲ βοηθεῖν παραινεῖ τῷ δήμῳ ῥοδίων. εἰ δέ τις ἄλλος ἀθηναίους ἐλύπησεν ἐν τῷ συμμαχικῷ πολέμῳ, καὶ τὴν ἀπόστασιν εἰργάσατο, μᾶλλον πέφηνεν ὁ τῶν ῥοδίων δῆμος. διόπερ πρὸς αὐτοὺς ἔοικε χαλεπαίνειν ἐξαιρέτως ἡ πόλις. μάλιστα γὰρ αὐτοὶ τυγχάνουσι τὴν ἀπόστασιν εἰργασμένοι. κατὰ πάντα τοίνυν χαλεπὸς ὁ λόγος τῷ συμβούλῳ, λέγοντι ὑπὲρ ἀνθρώπων ἀφεστηκότων, καὶ λελυπηκότων πολλὰ τὴν πόλιν. καὶ οὐ τοῦτο μόνον λυπεῖ τὸν δημηγόρον. ἀλλὰ καὶ ὁ παρὰ τοῦ βασιλέως φόβος. δοκεῖ γὰρ οὐ μικρὸν οὐδὲ ἀκίνδυνον εἶναι τὸ προσκρούειν βασιλεῖ, σχεδὸν κατειληφότι τὴν νῆσον C διὰ τῶν εὐπόρων. εἰς γὰρ ἐκεῖνον ἀνήκει τὰ πράγματα. πρὸς τοίνυν ἑκάτερον τούτων, ἀντέθηκεν ἰσχυρότατα δύο. πρὸς μὲν τὴν τῶν ῥοδίων ἀπιστίαν, τὴν μεγαλοφροσύνην τῆς πόλεως, καὶ τὸ σύνηθες εἶναι βοηθεῖν τοῖς ἀδικουμένοις τῶν ἑλλήνων. λέγων τὰ συμβησόμενα, πρὸς εὐδοξίαν τῇ πόλει. καὶ ὅτι πάντες εἰς αὐτοὺς ἀποβλέψουσιν, εἰ τοῦτο ποιήσειεν. πρὸς δὲ τὸν παρὰ τοῦ βασιλέως φόβον, καὶ τὸ δίκαιον καὶ τὸ δυνατὸν ἀντέθηκε, καὶ τρίτον τὸ συμφέρον. δυνατὸν μέν, ὅτι κακῶς πράττοντος τοῦ βασιλέως περὶ τὴν αἴγυπτον, καὶ ἡττωμένου, οὔτε ἀρτεμισία βοηθήσει τοῖς ὀλιγαρχοῦσι ῥοδίων, οὔτε αὐτὸς ὁ βασιλεύς. δίκαιον δέ, ὅτι οὐκ ἂν μεταποιήσαιτο βασιλεύς, τῶν μὴ προσηκόντων αὐτῷ. ἕλληνές τε γὰρ εἰσὶ ῥόδιοι, καὶ οὐ μεμερισμένοι εἰς τὴν βασιλέως ἀρχήν. καὶ τὸ τρίτον συμφέρον, ὅτι οὐδὲ περιορᾶν δεῖ κἂν μεταποιῆται ὁ βασιλεὺς τῶν ῥοδίων. Σύμβολον γάρ ἐστι τὸ γιγνόμενον, τοῦ μὴ μόνον ῥοδίων ἐπιθυμεῖν ἐκεῖνον. ἀλλὰ καὶ πάντων τῶν ἑλλήνων. οὕτω μὲν οὖν διήρηκε τὸν λόγον, καὶ τὰ πράγματα ταύτην ἔχει τὴν φύσιν. ὅπως δὲ ἕκαστον τούτων διῴκηκε, καὶ ὃν τρόπον μετεχειρήσατο, ἀρκτέον λέγειν ἄνωθεν, προοίμιον τὴν ἀρχὴν ποιησαμένους. οἶμαι δεῖν ὑμᾶς τὴν εὐλάβειαν ἣν ἔχει πρὸς τὴν ὑπόθεσιν, διὰ τῆς ἐπιβολῆς ἐνδείκνυται. οὐ γὰρ ἔχων παρρησίαν εἰπεῖν ὑπὲρ ἀνδρῶν δοκούντων πολλὰ καὶ μεγάλα ἠδικηκέναι τὸν δῆμον. διὰ τῆς ἑξῆς ἐννοίας τοῦ προοιμίου, προκαταλαμβάνει τὸν ἀκροατήν, καὶ βούλεται λαβεῖν ὁμολογοῦντα, ὅτι ποιήσει τὰ συμβουλευόμενα ὡς αὐτὸ διοικεῖσθαι διὰ τῶν δυοῖν ἐννοιῶν, τό, τε ἀνασχέσθαι λέγοντος, καὶ τὸ πεισθῆναι τοῖς λεγομένοις ἅμα καὶ πρᾶξαι. τοῦ δὲ δευτέρου προοιμίου ἐπιβολή ἐστι τὸ εὔνουν, ἐν ᾧ λέγει

Νομίζω